**βακχεῖος ἀπὸ ἰάμβου / bacchius a iambo**

Arist. Qvint. *de mus.* I 16 (p. 36. 1 sqq. Winnington-Ingram) ἐν δὲ τῷ ἰαμβικῷ γένει ἁπλοῖ μὲν πίπτουσιν οἵδε ῥυθμοί· ἴαμβος ἐξ ἡμισείας ἄρσεως διπλασίου θέσεως, τροχαῖος ἐκ διπλασίου θέσεως καὶ βραχείας ἄρσεως, ὄρθιος ὁ ἐκ τετρασήμου ἄρσεως καὶ ὀκτασήμου θέσεως, τροχαῖος σημαντὸς ὁ ἐξ ὀκτασήμου θέσεως καὶ τετρασήμου ἄρσεως· σύνθετοι δὲ οἱ κατὰ συζυγίαν βακχεῖοι δύο, ὧν ὁ μὲν πρότερον ἔχει τὸν ἴαμβον, δεύτερον δὲ τὸν τροχαῖον, ὁ δὲ ἐναντίως· κατὰ δὲ περίοδον ιβ, τέσσαρες μὲν ἐξ ἑνὸς ἰάμβου καὶ τριῶν τροχαίων (τούτων ὁ μὲν πρῶτον τὸν ἴαμβον ἔχων καλεῖται τροχαῖος ἀπὸ ἰάμβου, ὁ δὲ δεύτερον τροχαῖος ἀπὸ βακχείου, ὁ δὲ τρίτον βακχεῖος ἀπὸ τροχαίου, ὁ δὲ τέταρτον ἴαμβος ἐπίτριτος), τέσσαρες δὲ ἕνα τροχαῖον, τοὺς δὲ λοιποὺς ἰάμβους ἔχοντες (ὁ μὲν οὖν πρῶτον ἔχων τροχαῖον, τοὺς δὲ λοιποὺς ἰάμβους καλεῖται ἴαμβος ἀπὸ τροχαίου, ὁ δὲ δεύτερον ἴαμβος ἀπὸ βακχείου ἢ μέσος βακχεῖος, ὁ δὲ τρίτον βακχεῖος ἀπὸ ἰάμβου, ὁ δὲ τέταρτον τροχαῖος ἐπίτριτος), τέσσαρες δὲ δύο τροχαίους, ἴσους δὲ ἰάμβους, ἤτοι κατὰ τὸ ἑξῆς κειμένους ἢ τοὺς μὲν περιέχοντας, τοὺς δὲ περιεχομένους (ὁ μὲν οὖν πρώτους τοὺς ἰάμβους ἔχων, ἑπομένους δὲ τοὺς τροχαίους λέγεται ἁπλοῦς βακχεῖος ἀπὸ ἰάμβου, ὁ δὲ τοὺς τροχαίους προηγουμένους ἔχων, ἑπομένους δὲ τοὺς ἰάμβους ἁπλοῦς βακχεῖος ἀπὸ τροχαίου, ὁ δὲ περιεχομένους τοὺς ἰάμβους μέσος ἴαμβος, ὁ δὲ τοὺς τροχαίους μέσος τροχαῖος).

Mart. Cap. IX 986 sq. (p. 380. 12 sqq. Willis) compositi (*scil.* iambici numeri) sane sunt qui per copulas colliguntur; sunt autem hi: bacchius qui ex trochaeo deducit auspicium, fine autem iambici terminatur; qui vero bacchius est <a iambo> a iambo principia sortitur atque a contrario his quos diximus pedibus aptabitur. per periodum vero est quod velut per [se] certam viam provenit. in hoc genere cum sint duodecim numero, quattuor quidem per singulas periodos accipere docetur unum iambum ac tres trochaeos; ac de isdem quattuor, primum quidem qui iambum habere monstratur, trochaeus a iambo denominatur; qui vero rythmus secundum iambum recipiet, a bacchio trochaeus vocabitur; qui vero iambum tertium recipit, bacchius a trochaeo poterit nominari; ille vero qui quartum admittit iambum, appellatur epitritus iambus. eorum vero qui ex uno trochaeo fit [et] iambus a trochaeo appellatur a doctis; secundus iambus a bacchio dicitur aut certe bacchius medius poterit nominari; qui vero tertium recipit, bacchius a iambo nominatur; qui vero quartum recipit trochaeum, epitritus trochaeus appellatur. octo vero < ... > quattuor de his quos duodecim diximus per periodum, illi esse dicuntur qui binos trochaeos atque iambos per periodum servant. atque ille qui primos trochaeos recipit, duplex bacchius a trochaeo esse dicetur; qui vero secundos trochaeos habebit, duplex bacchius ab iambo nominatur. [*R.S.*]